## 11 MARTIE

# PARACLISUL SF.CUVIOS GHEORGHE SINAITUL DE LA ARSELA

## PARACLISIER-GR


ὁ ἅγι
ος
ΓΕΩΡ
ΓΙΟΣ
ὁ CINA
ΐΤΗC
IC XC
NI KA

# ΜΑΡΤΙΟΣ ΙΑ

# ΓΕΩΡΓΙΟΣ ΟΣΙΟΣ ΑΡΣΕΛΑΪΤΗΣ ΠΑΡΑΚΛΗΣΙΣ

*(Νεκτάριος Μαμαλοῦγκος)*

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:
*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*
Ὁ χορός: *Ἀμήν.*

*Ψαλμός ρμβ' (142).*

Καὶ εὐθὺς ψάλλεται τετράκις ἐξ' ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*
Στίχ. α'. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν...*
Στίχ. β'. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν...*
Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*
*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν...*

*Εἶτα τὸ τροπάριον. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ἀρσελαΐτου Γεωργίου τὴν μνήμην, περιχαρῶς τῶν φιλεόρτων χορεῖαι, Σιναϊτῶν τιμήσωμεν ὑμνοῦντες πιστῶς, θαύματα τούτου παράδοξα, ἀρετὰς τὰς θεοειδεῖς, ἆθλα τὰ ἀσκητικά, βιοτὴν τὴν ἀρίστην, ὡς μέγαν πρέσβυν ἔχοντες αὐτόν, ὅπως πρεσεύῃ, Χριστῷ δοῦναι ἔλεος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Ὁσίου Ἀρσελάϊτου, θεῖον μέλος. Γεωργίου.*

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Ὀδμὴν εὐωδίας πνευματικῆς, Γεώργιε δός μοι ἀνυμνεῖσαι ἆθλα τὰ σά, καὶ κάθαρον σῶμα, νοῦν ψυχήν μου πνευματοφόρε, Σινὰ θεῖον καύχημα.

Σαρκὸς ἀλγηδόνας καὶ ἐκτροπάς, νοός μου ὦ Πάτερ, σὺν τοῖς πάθεσι τῆς ψυχῆς, μετέβαλε τάχυ σαῖς πρεσβείαις, πρὸς τὸν Σωτῆρα, καὶ δὸς τούτων ἄφεσιν.

Ἱκέτευε Πλάστην καὶ Λυτρωτήν, Γεώργιε μάκαρ, τὸ ἀγλάϊσμα Ἀρσελᾶ, κινδύνων καὶ θλίψεων ῥυσθῆναι, τοὺς σὲ ὑνούντας γεέννης τε ῥύσασθαι.

*Θεοτοκίον.*

Ὀδύνην ψυχῇ μου τῇ ῥυπαρᾷ, προύξένησε Μῆτερ, διανοίας ἡ πρὸς ῥοπήν, κινοῦσα τὴν φύσιν ἁμαρτία, ἀλλ᾿ εἰς χαρὰν τὴν πικρίαν μετάτρεψον.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ὑψηλόφρονος γνώμης παρ᾿ ὃ δεῖ ἀπάλλαξον, καὶ φρονεῖν μοι δὸς ἄνω Πάτερ, ἀεὶ τὰ κρείττονα, ὥσπερ ἐβίωσας σύ, ἐν Ἀρσελᾷ γῇ ἀνύδρῳ, ἵνα δόξης μέτοχον, Κύριος δείξῃ με.

Ἀλγηδόνας σωμάτων καὶ τῆς ψυχῆς τραύματα, ἴασαι βαλσάμῳ νῦν Πάτερ, μόνον φιλάνθρωπον, ταῖς σαῖς λιταῖς δυσωπῶν, ὡς ἰατρὸς μοναζόντων, καὶ προσερχομένων σοι, ἦσθα Γεώργιε.

Ῥῶσιν δὸς τῖς νοσοῦσι καὶ λοιμικῆς λύτρωσαι, πάσης ἀσθενείας καὶ βλάβης, τοὺς ἀνυμνοῦντας σε,

καὶ πειρασμῶν ἐξελοῦ, δαιμονικῆς ἐπηρείας, πάντας ὦ Γεώργιε, μνήμην τιμῶντας σου.

*Θεοτοκίον.*

Σωτηρίας ὁλκάδα ὡς κιβωτὸν ἔχομεν, Σὲ ὦ Θεομῆτορ Παρθένε, καὶ καταφεύγομεν, ὑπὸ τὴν σκέπην τὴν Σήν, ἵνα ἡμᾶς ὁδηγήσῃς, είς λιμένα εὔδιον, Θεοῦ Παντάνακτος.

Διάσωσον, Ἀρσελαΐτα Γεώργιε τοὺς ὑμνούντας, πανευλαβῶς θείαν μνήμην σου Ὅσιε, καὶ λύτρωσαι νόσων ἡμᾶς καὶ γεέννης.

Ἐπίβλεψον, έν εὐμενείᾳ πανύμνητε Θεοτόκε, έπὶ τὴν έμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Προστάτην θερμὸν καὶ πρέσβυν πρὸς τὸν Κύριον, πτωχὸν βοηθόν, νοσούντων ἀντιλήπτορα, ὁδηγὸν κεκτήμεθα, σὲ μάκαρ τῶν πιστῶν πληθὺς κράζοντες· σπεῦσον ταχέως ῥῦσαι ἀναγκῶν, Ἀρσελαΐτα Γεώργιε ἅπαντας.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ἐξ αἱρέσεων λύτρωσαι, είδωλολατρείας πάντας Γεώργιε, τοὺς ζητούντας σὴν ἀντίληψιν, καὶ παράσχου βίον ἀνεπίληπτον.

Λαμπρυνόμενος Πνεύματι, ὡς ἰάσθω πάντας τοὺς προσϊόντας σοι, καὶ ἡμῶν τῶν ἀνυμνούντων σε, ἴασαι ταχὺ ψυχῆς νοσήματα.

Ἀθυμίας τὰ κύματα, καὶ καρδίας λύπην ἡμῶν ἀφάνισον, καὶ χαρᾶς Χριστοῦ καταύγασον, τῷ φωτὶ τοὺς μέλποντάς σε Ἅγιε.

*Θεοτοκίον.*

Ἱκετεύομεν Δέσποινα, Σὲ τὴν ὑπερύμνητον Θεομήτορα, δυσωπεῖν ἀεὶ τὸν εὔσπλαγχνον, Σὸν Υἱὸν λυτρώσασθαι κολάσεως.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Τάραχον νοός, καὶ σαρκός μου τὰ σκιρτήματα, σαῖς λιταῖς κόπασον ὦ Πάτερ ταχύ, πρὸς τὸν Σωτῆρα, γαλήνην θείαν δωρούμενος.

Ὅσιε Θεοῦ, τοῦ Σταυροῦ περιχαράκωσον, τῇ ἀηττήτῳ ἰσχύϊ καὶ ἡμᾶς, ἵνα δαιμόνων, κατατροπούμεθα φάλαγγας.

Ὕψος ἀναβάς, πρὸς Σιὼν τὴν ἄνω Ἅγιε, ἕλκυσον ἡμᾶς πρὸς βίον ταπεινόν, ἵνα πρὸς δόξαν, Χριστοῦ τὴν θείαν ἀνέλθωμεν.

*Θεοτοκίον.*

Θέλων τῆς φθορᾶς, ἵνα σώσῃ ἡμᾶς ᾤκησεν, Θεὸς γαστρί Σου Κόρη σωματικῶς, Ὃν ἐκδυσώπει, εἰσάξαι εἰς τὸν Παράδεισον.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ἐπίχαρμα, ἐγενόμην δαίμοσιν, ἡδοναῖς τῆς ἁμαρτίας δουλεύσας, ὅ,τι παθῶν, ἡ ψυχὴ ἐμολύνθη, καὶ ὡς ἰχθὺν ὁ βελίαρ ἐζώγρησεν, ἀλλὰ πρὸ τέλος ἐκβοῶ· Γεωργίου λιταῖς Χριστὲ σῶσόν με.

Ἰάτρευσον, τῆς ψυχῆς τὰ τραύματα, σῇ πρεσβείᾳ πρὸς Χριστὸν θεῖε Πάτερ, νόσων δεινῶν, τῆς ὀδύνης με ῥῦσαι, τῶν οἰδημάτων κινδύνων καὶ θλίψεων, καρδίαν νοῦν σῶμα ψυχήν, ἐξ ἐχθρῶν ἀοράτων ἐκλύτρωσαι.

Ὁδήγησον, πρὸς καλὴν μετάνοιαν, καὶ πρὸς τρίβους τοῦ Χριστοῦ σωτηρίους, τοῦ Ἀρσελᾶ, ἱερώτατε Πάτερ, Σιναϊτῶν μοναστῶν ἐγκαλλώπισμα, τοὺς μέλποντας περιχαρῶς, σὰ Γεώργιε θεῖα παλαίσματα.

*Θεοτοκίον.*

Νηστεύοντα, ἐκ παθῶν ἀξίωσον, καὶ δυνάμει Σου ἐνίσχυσον Κόρη, ὅ,,τι τροφός, γλυκασμὸς καὶ ἀγάπη, ἡμῶν ὑπάρχεις ἐλπὶς καὶ μεσίτρια, ἀεὶ ὑμνοῦμέν Σε ἁγνή, προσκυνοῦντες τὸν ἄφραστον Τόκον Σου.

Διάσωσον, Ἀρσελαΐτα Γεώργιε τοὺς ὑμνούντας, πανευλαβῶς θείαν μνήμην σου Ὅσιε, καὶ λύτρωσαι νόσων ἡμᾶς καὶ γεέννης.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Ἀντιλήπτωρ τῶν Σιναϊτῶν πέλεις Ὅσιε, καὶ μεσίτης τῶν Χριστιανῶν πρὸς τὸν Κύριον· σὺ παμμάκαρ τῶν μοναστῶν ἐδείχθης ὁδηγός, διὸ πρόφθασον θεῖε ποιμήν, είς τὴν βοήθειαν ταχύ, τῶν πιστῶς προσκαλούντων σε· ἴασαι ἀσθενούντας, καὶ ῥῦσαι τοὺς δαιμονώντας, πάντας ἐκ βλάβης ἐξελοῦ, Ἀρσελᾶ δόξα Γεώργιε.

Προκείμενον: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, έν ταῖς έντολαῖς Αύτοῦ θελήσει σφόδρα.*

Στ.: *Τοῖς Ἁγίοις τοῖς έν τῇ γῇ Αύτοῦ, έθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν΄ αλμός.

Δόξα: *Ταῖς τῶν Σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Μὴ οὖν ἀποῤῥίψῃς με, σαρκὸς τὸν μεμολυσμένον, καὶ παθῶν τὸν ἄσωτον, σὲ νῦν καταφεύγοντα ὦ Γεώργιε, Ὅσιε σῶσόν με, πιστῶς προσπίπτοντα, σῇ είκόνι ἀσπαζόμενος, ἴασιν δώρησαι, ἄμφω τῶν κινδύνων ἐκλύτρωσαι, θλίψεων ἐξαιρούμενον, καὶ τῶν χαλεπῶν συμφορῶν τοῦ βίου· ἵνα ἐξυμνῶ σου, πληθὺν τῶν θαυμασίων ἀληθῶς, καὶ μεγαλύνω ἐν ᾄσμασι, πολιτείαν ἄμεμπτον.

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Μετὰ τῶν Ἀσωμάτων αὐλιζόμενος Πάτερ καὶ τῶν Ἁγίων Χριστόν, ἱλέωσαι λιταῖς σου, ῥυσθῆναι τῆς γεένης, τοὺς βοῶντας Γεώργιε· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἐχθρῶν ἐπαναστάσεις τῶν αἱρέσεων θράση καὶ τῶν δαιμόνων ὀφρύν, σῇ μαάκρ ἀντιλήψει, κατάβαλε ἐν τάχει, ἵνα χαίροντες μέλπωμεν· Ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Λαὸν εὐσεβοφρόνως, ἀνυμνοῦντά σε κλέος, Σινᾶ τε καὶ Ἀρσελᾶ, σαις πρὸς Θεὸν πρεσβείαις, ἐκλύτρωσαι κινδύνων, καὶ τρυφῆς καταξίωσον, τῆς Βασιλείας Θεοῦ, Γεώργιε θεόφρον.

*Θεοτοκίον.*

Ὁρῶμεν Θεοτόκε ἀπειρόγαμε Νύμφη Σὲ ὡς κατεῖδε Μωσῆς, ἐν τῷ Σινᾷ ὡς Βάτον, φλογὶ παραδοθεῖσαν, ἀλλὰ ἄφλεκτον μείνασαν, νῦν δὲ τὴν φλόγαν παθῶν, ἡμῶν σβέσον Παρθένε.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Σῶσον οἰκτίρμον, τοὺς εὐσεβεῖς Γεωργίου, ταις λιταῖς ἀπαύστως Σὲ ὑμνοῦντας, καὶ δοξολογοῦντας, εἰς πάντας τοὺς αἰώνας.

Γῆθεν νεφέλη, πρὸς τὴν Σιὼν κοινωνῆσαι, τοῦ ποθεῖν ὦ θεῖε Πάτερ ἦρεν, ἐπαναγαγόντα, ὃν πόθον Χριστὲ δός μοι.

Ἐλέους θείου, καὶ δωρεῶν ἔμπλησόν με, ταπεινῶς φρονεῖν ἵν’ ἀνυμνῶ σε, ὦ Ἀρσελαΐτα, Γεώργιε τρισμάκαρ.

*Θεοτοκίον.*

Ὤφθης Ἀγγέλων, ἐν οὐρανοῖς ἀνωτέρα, γηγενῶν τ’ ἁγνὴ ἁγιωτέρα, ὅθεν τοὺς ὑμνοῦντας, Σὲ σκέπε πάσης βλάβης.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ῥοαῖς σὰς δακρυῤῥόους, χάρισόν μοι Πάτερ, σημειοφόρε Γεώργιε, γῆς Ἀρσελᾶ, ἵνα ὑμνῶ καὶ γεραίρω τὰ σὰ παλαίσματα.

Γεώργιε φρουρόν σε, κέκτηται ἡ Σκητή, τοῦ Ἀρσελᾶ σὺν πατρᾶσι Μονῆς τοῦ Σινᾶ, καὶ πλῆθος Ὀρθοδόξων οὓς πάντας φύλαττε.

Ἱκέτευε Σωτῆρα, ἵνα ψυχοφθόρων, ἁμαρτιῶν ἀπαλλάξῃ Γεώργιε, νῦν τοὺς σὴν πανένδοξον μνήμην πανηγυρίζοντας.

Ὀρδὰς ἐχθρῶν ἀπίστων, Σινᾶ χερσονήσου, Μονὰς τ’ ἐπαπειλοῦντας ἐκδίωξον σύ, καὶ ὑπερμάχει Πατέρω ἀεὶ Γεώργιε.

*Θεοτοκίον.*

Ὑψίστου ἡ καθέδρα, πέλεις ἐν τῷ πόλῳ, διὸ δυσώπει Υἱόν Σου σωθῆναι ἡμᾶς, τοὺς ἀληθῶς Θεοτόκον ὁμολογοῦντας Σε.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Γέγραπται ἐν βίβλῳ τῇ τοῦ Δαβίδ, ὁρισμὸς ὁποῖος, τοῦ δικαίου ἀνδρὸς ἐστί, ἐλεῶν ἀπαύστως, κατατρυφὰν Κυρίῳ, φῶς ἀρετῶν ἐκλάμπων, ἃ ἔσχες Ὅσιε.

Ἔλεος Δεσπότου ἐπιζητῶν, ἐν ἀνύδροις τόποις, ἠγωνίσω ὑπερφυῶς, καὶ πληθὺν δαιμόνων, κατήσχυνας παμμάκαρ, Γεώργιε Πατέρων, Σινᾶ ἀγλάϊσμα.

Ὢ κατορθωμάτων ἀσκητικῶν, ἱδρώτων καμάτων, δακρυῤῥόων τε προσευχῶν, ὕδωρ ἐγκρατείας, καὶ αὐστηρᾶς νηστείας, δι᾽ ὧν σὸν βίον Πάτερ, ὄντως ἐκόσμησας.

Ῥῦσαι τῶν παγίδων τοῦ πονηροῦ, τοὺς σοὺς ἐξυμνοῦντας, θείους ἄθλους Πάτερ σοφέ, ἐνάρετον βίον, καὶ πλῆθος θαυμασίων, ἃ ἔτι ζῶν ἐτέλεις, ἐν γῇ Γεώργιε.

Γῆθεν ἐποχούμενος πρὸς Σιών, ἡρπάγης νεφέλῃ, πληρωθέντος πόθου σεπτοῦ, Πάτερ κοινωνίας, Ἀχράντων Μυστηρίων, Χριστοῦ καὶ πάλιν ἦλθες, εἰς θείαν Λάυραν σου.

Ἱκεσίαις δέξαι πάντων ἡμῶν, τῶν πιστῶς τιμώντων, σὴν πανένδοξον ἑορτήν, ὦ Ἀρσελαΐτα, Γεώργιε θεόφρον, καὶ δὸς πᾶσι τὰ κρείττῳ, καὶ χάριν ἄμετρον.

Ὤφθης ἀντιλήπτωρ καὶ ἰατρός, νεκρώσας τὸν ὄφιν, καὶ ἀνέστησας ἐκ νεκρῶν, ἅμα μαθητήν σου, τῇ πρὸς Θεὸν δεήσει, ἡμῶν ψυχῆς τὰ πάθη, νέκρωσον Ἅγιε.

Ὕβριν ἀποδίωξον μισητήν, πάθη ψυχοφθόρα, δυσπιστίαν καταλαλιάν, τὴν φιλαργυρίαν, σὺν τῇ φιληδονίᾳ, καὶ ἀρετῶν ἀντίδος, καρπὸν Γεώργιε.

Μή μοι δὸς Θεῷ τῷ καταφρονεῖν, τῶν παραγγελμάτων καὶ θελήματος ἀγνοεῖν, ἀλλὰ διδαχαῖς σου, καὶ προσευχαῖς παράσχου, τὸν φωτισμὸν καὶ γνῶσιν, Πάτερ τὴν ἔνθεον.

Νόσων ἐλευθέρωσον καὶ δεινῶν, τοὺς σὲ εὐφημοῦντας, ὦ Γεώργιε Ἀρσελᾶ, καύχημα Σιναίου, τῶν μοναστῶν ἀκρότης, τοῖς χαῖρέ σοι βοῶσι, Πάτερ μακάριε.

Ὅλην τὴν καρδίαν πρὸς τὸν Θεόν, ἐν τῇ προσευχῇ μου, καθ’ ἑκάστην ἀναπνοήν, δὸς ἔχειν ὦ Πάτερ, ὥσπερ λαμπάδος φλόγα, καὶ νοῦν ἀμετεώριστον, καὶ φιλόπονον.

Σῶσον ταῖς πρεσβείαις σου πρὸς Χριστόν, ψυχὰς τῶν ὑμνούντων, σὲ ἀσμένως Πάτερ σοφέ, χάριν σὴν παράσχου, ῥῶσιν δαψιλεστάτην, ἁμαρτημάτων λύσιν, ἄμφω ὑγείαν τε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν είς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί...*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῆς ἡμῖν σφόδρα, μηδέ μνησθῆς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν...*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

Πέλεις, Ὀρθοδόξων ὁδηγός, τῶν Σιναϊτῶν ἀντιλήπτωρ, καὶ τῶν πτωχῶν ἀρωγός, Ὅσιε Γεώργιε, Ἀρσελαΐτα σοφέ, καταπλήττεις δὲ θαύμασι, τοῖς πίστει δραμοῦσι, καὶ τὴν σὴν βοήθειαν, ἐπιζητοῦσι θερμῶς· ὅθεν, δίδου πᾶσι τὰ κρείττῳ, σώζων ἐκ

φθορᾶς νοσημάτων, τοὺς τὴν θείαν μνήμην σου γεραίροντας.

Ἄνασσα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, αἰωνίου πυρὸς Βάτε ἄφλεκτε.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου είς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι᾽ εὐχῶν.*